# Ιουστινιανός Β Ρινότμητος

Παρασκευή, 5 Οκτωβρίου 2012
7:30 πμ

## ’ΙΟΥΣΤΙΝΙΑΝΟ͂Σ ΤῸ ΔΕΎΤΕΡΟΝ Ὁ ΡΙΝΌΤΜΗΤΟΣ.

’Ιουστινιανὸς τὴν βασιλείαν τὸ δεύτερον ἀπολαβὼν ἐβασίλευσεν ἔτη ἓξ, δῶρα πολλὰ τῷ Τέρβελι δοὺς, καὶ χώραν τῶν Ῥωμαίων ἐκκόψας, δίδωσιν αὐτῷ τὰ λεγόμενα νῦν Ζαγόρια. Ἀψίμαρον δὲ ἀποστείλας ἐχειρώσατο, καὶ Ἡράκλειον τὸν ἀδελφὸν αὐτοῦ σὺν πᾶσι τοῖς συνασπιζομένοις αὐτοῖς ἄρχουσι· καὶ τοὺς μὲν ἄλλους ἐν τῷ χειμῶνι πάντας ἀνασκολοπίσας, Ἀψίμαρον δὲ καὶ Λεόντιον ἁλύσεσι δεσμεύσας, ἤγαγεν ἐν τῷ καθίσματι τοῦ ἱπποδρομίου· καὶ τοὺς αὐχένας αὐτῶν πατῶν ἦν ἄχρις ἀπολύσεως τοῦ πρώτου βαΐου. ὁ δὲ δῆμος ἐβόα “ ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπέβης, “ καὶ κατεπάτησας λέοντα καὶ δράκοντα.” καὶ οὕτως ἀποστείλας αὐτοὺς ἐν τῷ κυνηγίῳ ἀπεκεφάλισε. Καλλίνικον δὲ τὸν Πατριάρχην τυφλώσας, ἐξώρισε, καὶ πολλοὺς τῶν ὄντων ἐν τῇ πόλει ἀπώλεσε θανάτῳ, ὥστε φόβον μέγαν γενέσθαι.

Ἀποστείλας δὲ ἤγαγε Θεοδώραν τὴν ἐκ Χαζαρίας καὶ Τιβέριον υἱὸν αὐτῆς, καὶ συνεβασίλευσαν αὐτῷ. λύσας δὲ τὴν εἰρήνην τῶν Βουλγάρων, ἐπεστράτευσε κατ’ αὐτῶν, καὶ καταπολεμηθεὶς εἰς φρούριον κατέφυγε. καὶ τοὺς ἵππους νευροκοπήσας, εἰς τὰ σκάφη ἐπιβὰς, μετ’ αἰσχύνης ἦλθεν ἐν Κωνσταντινουπόλει. Χερσωνίταις δὲ μνησικακῶν ἀπὸ τῆς ἐξορίας αὐτοῦ, ἀποστείλας Μαῦρον πατρίκιον κατέσφαξε, καὶ τὰ νήπια αὐτῶν κατηδάφισεν. ὁ δὲ Φιλιππικὸς, ὁ καὶ Βαρδάνης, ἐκεῖσε ὢν ἐξόριστος, καί τινας τῶν στρατιωτῶν ὑπονοθεύσας, καὶ πρὸς τὴν αὐτοῦ ἑλκύσας εὔνοιαν, διὰ τὴν τοῦ ’Ιουστινιανοῦ ἀπήνειαν καὶ ὠμότητα, τοῦτον εὐφήμησαν εἰς βασιλέα, καὶ μετὰ στόλου προέπεμψαν ἐν τῇ πόλει· ὅπερ γνοὺς ὁ ’Ιουστινιανὸς, ἐπὶ πλεῖον φοβηθεὶς καὶ θυμωθεὶς, ἀνῆλθε μέχρι Σινώπης ἀκριβέστερον περὶ τούτου μαθησόμενος. τοῦ δὲ Φιλιππικοῦ σὺν τῷ στόλῳ τὴν πόλιν καταλαβόντος, ’Ιουστινιανὸς πρὸς τὸν Δαματρὺν ἀπέδρα, καταλειφθεὶς ὑπὸ πάντων· ὃν αὐτίκα Φιλιππικὸς χειρωσάμενος, τὴν κεφαλὴν αὐτοῦ ἀφείλετο, καὶ τοῖς Σκύθαις ἐξέπεμψε.

Screen clipping taken: 5/10/2012 7:31 πμ
351.348 [357]